βάλλοι ὁ δόμος καὶ πολλοί · ὁ ὑπὲρ ἀρετῆς ἰδὼν τοῦ κόσμου σοφίας ἁπάσης · καὶ
βραχὺ διηγησάμενος εὐθύς · χρησιμεύσας τὸ πλεῖστον · δημη-
γορεῖ ἀπὸ προφητῶν καὶ ἀποστόλων λόγον τῆς ἀληθείας ::

Τοῦ θεολόγου ἐκ τοῦ εἰς τὴν πληγὴν τῆς χαλάζης ::

Σοφία πρώτη, σοφίας ὑπεροψία τῆς ἐν λόγῳ κειμένης · καὶ στροφαῖς
λέξεων καὶ ταῖς ἀντιθέσεσι καὶ περιτταῖς ἀνθηδόσιν · ἐμοὶ δὲ δέ-
νοιτο τῶν τε λόγοις τοῖς ἐν συνθήκῃ λαλεῖν ἀναγνῶναι · ἣν ἁλιεῖς ἐκράτησαν
τοῦ γλώσσῃ · καὶ φωνῇ σεμνῇ τιμῶσα ὁμοῦ · ταύτην ἐπαινῶ τὴν
σοφίαν ἐγώ · ταύτην ἀσπάζομαι · δι' ἧς ἀσθενεῖς ἐδοξάσθησαν ·
καὶ μαθητὴς τὴν οἰκουμένην ὅλην τοῖς τοῦ εὐαγγελίου δικτύοις
συναγαγόντες · τῷ συντετμημένῳ λόγῳ, τὴν καταργουμένην
σοφίαν νικήσαντες · οὐ γὰρ ἔγωγε ὁ τῷ λόγῳ σοφός, οὔτε ὁ
σοφός · οὐδὲ ὅστις γλῶσσαν μὲν ἀσοφος ἔχει · ψυχὴν δὲ ἀπαί-
δευτος, ὥσπερ οἱ τάφοι, ὅσοι τὰ ἔξωθεν ὄντες εὐπρεπεῖς καὶ
ὡραῖοι · μιαρῶν νεκρῶν τὰ ἔνδον · καὶ πολλῆς δυσωδίας πλή-
ρεις τυγχάνουσιν · ἀλλ' ὅστις, ὀλίγα μὲν περὶ ἀρετῆς φθέγγεται · πολλὰ
δὲ τοῖς ἔργοις ἐπιδείκνυται · καὶ τὸ ἀξιόπιστον τοῦ λόγου διὰ τοῦ
βίου προστίθησι · κρεῖσσον γὰρ ἐμοὶ σοφία θεωρουμένη,
τῆς λόγῳ ζωγραφουμένης · καὶ πλοῦτος οὐ ἐν χερσὶν ἔχειν · τῆς
ὀνείρασι φαντασίας · καὶ σοφία ἡ ἐν λόγῳ λαμπρυνομένη, ἀλλ'
διὰ τῶν ἔργων ἐξηγουμένη · συνετὸς δὲ ἀληθῶς παρ' ἐμοὶ τοῖς ποιοῦσιν
αὐτήν, ἀλλ' οὐ τοῖς ἀκροωμένοις :– Τοῦ αὐτοῦ ἐκ τοῦ ἡ' ἰουλιανοῦ :

Σὺ δὲ ἑλληνίζειν ὑπέρ μου · πόθεν, οὐ φοινίκων τὰ γράμματα; ὡς
δὲ τινες λέγουσιν αἰγυπτίων, ἢ τῶν ἔτι τούτων σοφωτέρων ἰουδαίων;
οἳ καὶ πλάκεσι θεογράφοις ἐγχαράττειν τὸν νόμον τοῦ θεοῦ πιστεύουσιν.
σὺ δὲ τὸ ἀττικίζειν; τὸ ἀριθμεῖν δὲ καὶ λογίζεσθαι, καὶ τὰ τούτοις με-
τρεῖν · καὶ σταθμᾶν, τίνος οἰκεῖον; οὐχ εὐβοέων, ὅ παρ' αὐτοῖς
Παλαμήδους εὕρεσις · καὶ διὰ τοῦτο ἐπίφθονος · τὰ δὲ ποιήματα;